# Υπέρ τής μετάνοιας και έπιστροφής των ύπό των ναρκωτικών, του καπνίσματος και πάσης φθοροποιού συνήθειας αίχμαλωτισθέντων.

Εἰς το ὄνομα τοῦ Πατρός καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν. Δόξα Σοι, ὁ Θεός ἡμῶν, δόξα Σοι.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν. Ἀμήν.

(Τρισάγιον)

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς

(3 φορές)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς• ἁγιασθήτω τὸ ὄνομά Σου• ἐλθέτω ἡ Βασιλεία Σου• γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς• τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον• καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν• καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Κύριε, ἐλέησον (ιβ′ 12 φορές)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ Βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

(Ψαλμός ν′ - 50)
Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου· καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.
Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καὶ τὸ Πνεῦμά Σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς Σου καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

**Του Κυρίου δεηθώμεν**

**Κύριε Ἰησοϋ Χριστέ, ό Θεός ημών**, ό έχων σπλάγχνα οίκτιρμών και πέλαγος μακροθυμίας άνεξάντλητον ό τής άγαθότητός σου τον πλούτον πάσι διανέμων έν χρηστότητι και προσδεχόμενος τούς έν μετανοία έπιστρέφοντάς σοι εκ τής ψυχολέθρου εργασίας των κακών και τής εμπαθούς προσκολήσεως έν τή πονηρά και φαύλη συνήθεια τών παθών ό θέλων ημάς καταστήσαι μετόχους τής δόξης σου καί κληρονόμους τών αιωνίων άγαθών σου, ά ήτοίμασας τοίς άγαπώσι σε καί φυλάττουσι τά προστάγματα σου ό δούς ήμϊν τον νόμον Σου, είς άποφυγήν πάσης όλεθρίου παρεκτροπής καί είς κατόρθωσιν πάσης ύψοποιοϋ αρετής καί τελειώσεως ό παραγγέλων ήμϊν ποιεϊν τά σοι ευάρεστα καί μελετών τάς τών Αγίων Σου Γραφών ίεράς καί θείας παρακαταθήκας, ίνα έξ αυτών μάθωμεν τά σά μεγαλεία τά ανέκφραστα καί δοξάσωμεν την σήν δόξαν τήν άκατάληπτον.

Ό δούς ήμϊν όπλον κραταιόν την προσευχήν καί τείχος οχυρόν τήν σωφροσύνην καί τήν έγκράτειαν, σπουδήν τε καί ευπρέπειαν τήν νήψιν καί τήν έγρήγορσιν έν παντί ό θέλων ήμάς έργάτας είναι εύπειθεϊς τού άμπελώνος σου καί οίκονόμους αγαθούς τής χάριτός σου, είς τό φιλοκαμάτως κοπιάζειν έν αύτω καί ποιεϊν προθύμως τάς παραγγελίας σου, φιλοτίμως τε έχειν έν άγαθοϊς τον ζήλον τον καλόν ό θέλων ημάς προκόπτειν έν τοϊς καλοϊς καί φεύγειν άπό τής άμελείας, ήτις προάγει

ήμας είς άσωτείαν, καί τάς φθοροποιάς έργασίας· ό είπών: «νήφετε έν παντί» καί πάλιν: «γρηγορεϊτε και προσεύχεσθε ϊνα μη είσέλθητε είς πειρασμόν»· Αύτος καί νυν φιλάνθρωπε, άξίωσον τον δοϋλον σου τούτον (…….) τώ έπχστρέψαι έκ τής φθοράς καί τής λήθης, είς ήν περιέπεσεν έκ τής άφροσύνης καί τής άλογου χρήσεως τών ναρκωτικών πρόσδεξαι δε αύτόν, ώς τον άσωτον υιόν σου, ύφαπλών τάς πατρικάς άγκάλας σου καί δωρούμενος αύτω τής σής υιοθεσίας τά γνωρίσματα ποίησον αύτον καί πάλιν, τής χάριτός σου σκεύος καθαρόν καί εϋχρηστον, τήν σήν δόξαν διηγούμενος καί τά θαύματά σου μαρτυρών, έν έργοις φωτεινοϊς ταϋτα έπαληθεύων.

Δός αύτω νηφαλέαν τήν διάνοιναν καί τήν καρδίαν ταπεινήν καί πραεΐαν, ϊνα πορεύηται έν ταϊς έντολαϊς σου καί άδολεσχή έν τοϊς ρήμασί σου, έπικαλούμενος τό “Αγιον όνομά σου, τού πατρός καί τού Υιού καί τού ‘Αγίου Πνεύματος, νύν καί άεί, καί είς τούς αιώνας τών αιώνων.

ευλογιες
Με πατρική αγάπη & Ευλογίες
eulogies.gr